## Προτάσεις αἱ ἐπὶ τὸ Κεφάλαιον τὸ Ζ'. ἐπανήκουσαι.

### Πρότ. Ος'.

„Τὴν τῶν Σωμάτων βαρύτητα καὶ στεῤῥότητα ἀπολύτως μὲν οὔ, σχέσει
„δὲ τῇ πρὸς τὰ ἄλλα σώματα μόνον νοοῦμεν.

### Σχόλιον.

Βαρέα μὲν γὰρ ἀποκαλοῦμεν τὰ δυνάμει τινὶ πρὸς τὸ κοινὸν ἐπειγόμενα κέντρον, ἧς δὴ δυνάμεως παυσαμένης, οὐδὲν ἡμῖν ἔσται σῶμα βαρύ. Διὰ δὲ τὸν αὐτὸν λόγον, ὡς ἅπασιν ἐνοῦσαν τοῖς σώμασι δύναμιν, τοῦ κέντρου ἀπάγουσαν, ὁ Καρτέσιος ὑπέθετο, κοῦφα τὰ πάντα πεποίηκε. Τὰ τοίνυν ἐπίκεντρα τῶν σωμάτων βαρέα καλεῖται εἰκότως, τὰ δ' ἀπόκεντρα κοῦφα ἂν λέγοιτο· ἥ τε τοῦ ἐπίκεντρα ἐκεῖνα φέρεσθαι δύναμις, αὕτη δύναμις ἡ τῆς βαρύτητος (1)· ἡ δὲ τοῦ ἀπόκεντρα κινεῖσθαι δύναμις ἂν εἴη κουφότητος. Ὅ,τι δ' ἀνήκει τῇ στεῤῥότητι, ταύτην εἶναι φαμὲν, τὴν ᾗ τῇ ἀφῇ ἡ ἔκτασις, ἢ παραπλησίᾳ ἐκτάσει ἀντίκειται δύναμιν (2). Ἔστι γὰρ στεῤῥότης ἡ τοῦ ἀντέχειν δύναμις, ἐξ ἧς τὸ ἀδιαχώρητον ἀναφύεται (ὁρ. νζ.). Ἀλλ' εἰ καὶ τοῦτο ἐξ ἐκείνης, ἐκ γεμὴν τούτου ἐκείνην εἰκάζομεν.

### Πρότ. ΟΖ'.

„Τῶν ἐλαστικῶν ὑγρῶν τὰ μόρια πανταχόθεν ἐξίσου θλίβεται.

### Σχόλιον.

Δέδεικται ὑπὸ διαφόρων (3). Οἷον εἴτις νοήσῃ ὑγροῦ μέρος τὸ Α, καὶ περὶ αὐτὸ σφαῖραν ἐκ τοῦ αὐτοῦ ὑγροῦ, καὶ ἀπὸ τῆς περιφερείας γραμμὰς ἀπείρους τὰς ἐκ τοῦ ὑγροῦ, ἐπὶ τὸ Α, ὡς ἐπὶ κέντρον ληγούσας, ἴσω τοῦτο δὴ τὸ Α ὑφ' ἁπασῶν τῶν γραμμῶν πανταχόθεν ἐπίσης θλίβεσθαι, καὶ δὴ καὶ ἀντιθλίβειν, ὅτι ἴση τῇ ἐνεργείᾳ ἡ ἀντενέργητις. Ἐκ τούτου δὴ καὶ λόγος ἂν ἐπαχθείη ἐναλήθως ἔχων, ἐξ οὗ τὸ κενὸν ἀναιρεθείη· πῶς γὰρ ἂν ἐπίσης πανταχόθων θλίβοιτο, τοῦ κενοῦ τεθέντος; Οὐ γὰρ ἄνευ ἀφῆς ἡ θλίψις δηλονότι. Εἰ δέ τι καὶ ἐπὶ τὸ ἀφεστὸς ἐνεργεῖν ὁρᾶται, ἀλλ' ἐγχωρούσης πάντως ὕλης ἀνεπαισθήτου, τοῦτο τελεῖται. Καὶ οἶδα μὲν ὡς Νεύτων, καὶ μηδενὸς μεσιτεύοντος, καὶ

---

(1) *Νεύτων Βιβλ. Α'. περὶ ἀρχ. Σχολ. ὁρ. ε.*

(2) *Γραβεζάνδιος φιλοσ. Νεύτ. Βιβλ. Α'. Κεφ. Γ'. §. ις.*

(3) *Μαριόττου, Νιεβευτιτίου, Γραβεζανδ. Μυσχεμβρ. καὶ ἄλλων.*

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὰ ἀπωτάτω πρὸς ἄλληλα ἐνεργεῖν ἡγήσατο. Ἀλλὰ τυχὸν ὅτι οὐκ ἄλλως τὸ οἰκεῖον σύστημα οἰκοδομῆσαι δεδύνηται, καθ' ὃ αἱ διὰ τοῦ κενοῦ ἐφελκύσεις τῶν Ἀστέρων ὑποτίθενται, ἢ που τῶν φιλοσόφων πολλοὶ διεγνώκασι.

## Πρότ. ΟΗʹ.

„Ἐκ τῆς τῶν Σωμάτων κινήσεως, ϗ τῆς τῶν Ἀστέρων κυκλοφορίας, καὶ „τῆς τοῦ Φωτὸς ἀπὸ τῶν ἀπλανῶν προέσεως, ϗ ἐκ τοῦ μεγέθους τῆς τῶν Κο„μητῶν οὐρᾶς (1), οὐδεὶς ποτε λόγος γενναῖος ὑπὲρ τοῦ κενοῦ ἂν ληφθείη.

## Δεῖξις.

Φασὶ γὰρ ἔσεσθαι τὰ πάντα στερρὰ ἐπίσης, τοῦ κενοῦ ἀπόντος, ϗ μηδὲν ἔχειν κινεῖσθαι, ϗ τὰς ἀστέρων φορὰς διὰ τοῦ πλήρους ἐπιβραδυνθήσεσθαι, καὶ τὸ ἀπὸ τῶν ἀπλανῶν φῶς ὡς ἡμᾶς μὴ ἥξειν, μᾶλλον ϗ μᾶλλον ἐπαμβλυνόμενον. Πῶς δ' ἂν καὶ οὕτως εὐμεγέθεις οὐραὶ κομητῶν τῇδε κἀκεῖσε διὰ τοῦ πλήρους εὐπόρως οὕτω φέροιντο; Ἀλλὰ ταῦτα δὴ ϗ τὰ τοιαῦτα, ϗ ὑγροῦ λίαν εὐκινήτου, ϗ ῥοώδους ὑποτεθέντος, τοῦ τὰ πάντα πληροῦντος, ἔχοι ἂν ἀναπτύσσεσθαι. Ἄρα κτλ.

## Σχόλιον.

Ἐπειδὴ γὰρ τοῦ πάνυ ῥοώδους, ϗ ἐλαστικοῦ, ϗ εὐκινήτου Σώματος ἕκαστον τῶν μερῶν πανταχόθεν ἐπίσης θλίβεται (Πρ. ΟΖʹ.), ἐὰν ἢ τοῦ ὑγροῦ μέρος, ἢ τὸ ἐν αὐτῷ στερεὸν καθ' ὁποιονοῦν διορισμὸν ὑπέρσχῃ τὴν ἔνστασιν, τότε δὴ ὑποχωρήσει τοῦ ὑγροῦ τὸ ἐμπρόσθιον, τό,τε ὀπίσθιον ἕψεται. Ἐπεί τε τοῦ τοιούτου ὑγροῦ τὰ μέρη ϗ ἀλλήλοις, ϗ τοῖς ἄλλοις ἀκριβῶς ἔχει προσεφαρμόζεσθαι, οὐδὲν ἂν κενὸν ὑπολείποιτο ἐν τῷ γίνεσθαι τὴν κίνησιν (2). Ἀλλὰ ϗ τὸ ἀπὸ τῶν ἀπλανῶν ἄφθονον φῶς, δίκην σημείου ἡμῖν καθορώμενον, δείκνυσι τοῦ μὴ διὰ τοῦ κενοῦ ὡς ἡμᾶς γίνεσθαι. Ἄλλως τε οὐδὲ τὰ διαστήματα ἐκεῖνα κατὰ τοὺς περὶ Νεύτωνα ἀκριβῶς κενὰ τυγχάνουσιν, ἅτε δὴ φωτὸς πληρούμενα, καὶ τῶν ἀπὸ τῶν πλανητῶν ἀτμοσφαιρῶν ἔν τε τῇ ἡλιακῇ ταύτῃ δίνῃ, ϗ ταῖς τῶν λοιπῶν ἀστέρων (3)· τὴν δὲ τῶν ἀστέρων κυκλοφορίαν Θεοῦ δεῖσθαι τοῦ συνέχοντος ϗ Νεύτων αὐτὸς ὡμολόγησεν. Ἢ οὐχὶ αἱ τῶν ἄστρων ἀπόρροιαι

---

(1) Ἐκ τούτου γὰρ τὸ κενὸν κατασκευάζειν ἔδοξαν Λουκρέτιος, Γασσ. Νεύτ. Λώκ. Γραβεζ. Μουσχεμβρ. Βολτέρ. ϗ ἄλλοι.

(2) Ὅρα Ἀρσοκέριον. Φυσ. Κεφ. Αʹ.

(3) Ὅρα Φοντενέλ. ἐν τῷ περὶ πληθ. κόσμ. ϗ Ουγέν. περὶ συστήμ. Κρόνου.



Ε.Υ.Δ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πληθυνόμεναι διηνεκῶς, ἐμποδὼν ἐ ςήσονται τῇ ἐκείνων κινήσει; Εἰδὲ διὰ κενȣ̃ ἀκωλύτως οἱ ἀςέρες φέρονται, πῶς ἔπειτα ἐκ τῶν Νευτωνείων ἀναλογισμῶν ἐπὶ δυσὶ σὺν ἡμίσει ἐνιαυτῶν μυριάσιν ἠρεμήσειν τέως τὴν γῆν μέλλειν ἐπάγεται (1);

## Πρότ. ΟΘ'.

„ Τὸ τῆς βαρύτητος αἴτιον ἀγνοεῖται.

### Σχόλιον.

Πάντες ὁμολογȣ̃σι μηδὲν ἀσφαλῶς περὶ τȣ́τȣ εἰδέναι. Οἱ Ἀριςοτέλειοι τὴν ἀρχὴν ἐνδιάθετον τῆς τε βαρύτητος ϗ κȣφότητος ἐν τοῖς σώμασιν ὑπέθεντο. Τȣ́τοις σχεδὸν συνᾴδειν δοκȣ̃σιν οἱ περὶ Νεύτωνα, ὅτι μὴ βαρέα τὰ πάντα βȣ́λονται. Κȣ̃φα τȣ̓ναντίον ἅπαντα ἡγήσατο ὁ Καρτέσιος, οἷα δὴ τῆς ἀποκέντρȣ εὐμοιρȣ̃ντα δυνάμεως, γίνεσθαι δὲ βαρέα κατὰ θλίψιν τῶν εὐσθενέςερον τȣ̃ κέντρȣ τῆς δίνης ἀπαγομένων. Τῷ δὲ Ῥηγίῳ τῇ ἀπὸ τȣ̃ ἀέρος θλίψει βαρέα τὰ σώματα ἔδοξε γίνεσθαι, καὶ τοῖς ἀπὸ τȣ̃ σώματος πηγάζȣσι πνεύμασι τῷ Κεπλέρῳ, τῇ δὲ ἀμοιβαίᾳ τῶν σωμάτων ἐφελκύσει τῷ Γασσένδῳ. Ὁ δὲ Καζάτος βάρυνσιν ἔχειν ὑπείληφε τὰ σώματα, ὅτι τῶν ἰδίων χωρῶν ἐκτός εἰσι κείμενα. Ὁ δὲ Μȣσχεμβροέκιος, μήπȣ κατ' ἐνέργειαν θείαν τȣ́τοις ἐπικειμένην βαρέα ᾖ, εἰς ὑπόνοιαν ἐμπέπτωκε. Τῷ ὄντι δὲ μὴ ἄρα τȣ̃το ᾖ τὸ πνεῦμα, ὃ δυνάμει ἐνεργητικῇ (ὥς φησι πάνυ καλῶς ϗ ὁ θεσπέσιος Χρυσόςομος) ἐπεφέρετο ἐπάνω τȣ̃ ὕδατος, ἤτοι τȣ̃ χάȣς, τȣ̃ ἔτι ἀκαλλȣ̃ς ϗ ἀκόσμȣ;

## Πρότ. Π'.

„ Ἐκ τῆς ἐν τοῖς σώμασι μείζονος, ἢ ἐλάσσονος βαρύτητος, ȣ̓κ ἂν ἀποδειχθείη τὸ κενόν.

### Δεῖξις.

Τὸ γὰρ τῆς βαρύτητος αἴτιον ἀγνοεῖται (Πρ. ΟΘ'.)· ἄρα ϗ τὸ τῆς κατὰ τὸ μᾶλλον ϗ ἧττον. Οὐκ ἂν ἄρα φαίημεν τὸ διεσπαρμένον εἶναι τȣ̃το κενόν.

### Σχόλιον.

Ἀλλ' ἀνάλογον εἶναι φασὶ τῇ πηλικότητι τῆς ὕλης τὴν βαρύτητα. Ἀλλὰ τȣ̃το δήπȣ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, σχολαςικὸς ἂν εἴποι φιλόσο-

---

(1) Ὅρα Βολτέρ. Φιλοσ. Νευτ.

Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

φος. Ο' γὰρ ἀνάλογον τῇ τῆς ὕλης πηλικότητι τιθέμενος τὴν βαρύτητα, πλείονα ἔχειν τὴν ὕλην ὑποτίθησι τὰ βαρύτερα, ἐλάσσονα δὲ τὰ κυφότερα, περὶ ȣ̓ συζητεῖται. Α'λλὰ πειράμασι, φασὶ, τὸ λεγόμενον καταφανές. Α'λλ' ὐδὲν, ἡμεῖς, τὰ πειράματα μᾶλλον δεικνύȣσιν, ἢ ὅτι τῶν σωμάτων τὰ μὲν βαρύτερα ἐςὶ, τὰ δὲ κυφότερα, ὅτι δὲ ϗ ἡ βαρύτης ἀνάλογον ἐςὶ τῇ πηλικότητι τῆς ὕλης ὐδαμῶς. Τὶ δ' ὅτι ἡ ἀρχὴ τῆς βαρύνσεως ὐκ ἐπίσης ἐπενεργεῖ πᾶσι τοῖς σώμασιν; ὔπω δῆλον. Τὶ δ' ἂν εἴποιεν, ὅτι ἐν τῷ κενῷ, ὅ,τί ποτε σωματικὸν ἐςὶν ἰσομέγεθες, ἐκ παντὸς γένȣς σωμάτων, τὴν ἴσην ἔχειν βαρύτητα, ϗ μὴ μόνον ἰσοταχῶς κατιέναι, ϗ Μȣσχεμβρόεκιος αὐτὸς (1) ςαμβάζων διωμολόγηκεν; Εἰ γȣ̃ν τȣ̃το, ὐκ ἄρα ἡ βαρύτης τῇ πηλικότητι τῆς ὕλης ἀνάλογον.

## Πρότ. ΠΑ'.

„Η' τῶν Σωμάτων πύκνωσις, ϗ ἡ μάνωσις, ἄριςα ἀναπτύσσονται, „ἡ μὲν τῇ ἐξώσει ὕλης τινὸς ἀνεπαισθήτȣ, ϗ πάνυ ῥοώδȣς, ἡ δὲ τῇ εἰσροῇ, „ϗ εἰσχωρήσει τῆς αὐτῆς ὕλης. Οἷον δὴ καθορῶμεν τὸ ὕδωρ εἰς παγετὸν τρεπόμενον, τοῖς εἰσιȣ̃σιν ἅλασι διαμανȣ̃σθαι, πυκνȣ̃σθαι δὲ τȣ́των ἐξαγομένων „δυνάμει θερμότητος. Οὐδ' ἄλλως τὴν πύκνωσιν ταύτην ϗ μάνωσιν οἱ περὶ „Νεύτωνα ἀναπτύσσȣσιν (2). Οὐδεὶς ἄρα ἐκ τῆς τῶν σωμάτων πυκνώσεως ϗ „μανώσεως ὑπὲρ τȣ̃ κενȣ̃ λόγος ἔχει ληφθῆναι. Καὶ θαυμάζειν ἄρα ἔπεςιν, „ἄνδρα ἄλλως φύσεως ὀξύτητι διαφέροντα, τῷ τοιῷδε λόγῳ ἐξόχως μάλιςα ἐπερειρίσθαι τὸν Νεύτωνα (3).

## Πρότ. ΠΒ'.

„Η' ἔκτασις ὐκ ἔςιν οὐσία, ἀλλ' ἴδιον, ἢ τρόπος οὐσίας.

## Δεῖξις.

Οὐ γὰρ ἐσωτερικῶς ἡ οὐσία ὑπ' ἄλλȣ ἤρτηται (ὁρ. κα'.). Οὐδ' ἔςιν ἄρα ὂν σύνθετον ἐκ τῶν πράγματι διῃρημένων, δεῖ δὲ ταύτην ἁπλȣ̃ν τι εἶναι (Πρ. ΚΒ'.). Α'λλὰ γὰρ ὅτε ἔκτασιν λέγω, εἰμὴ τὴν φαντασιώδη ἐκείνην, ἤ.

---

(1) Στοιχ. τῆς Φυσ. §. 163. Ο' Μȣσχ., εἰ δέοι τ' ἀληθὲς εἰπεῖν, ἰσομεγέθη κατὰ τὴν περιȣ̃σαν αὐτοῖς ὕλην ὑποτίθησιν, οὐχὶ δὲ τὴν δοκȣ̃σαν (§. 215. 216.), ὅς γε καὶ §. 217. τὰ ἰσομεγέθη ἀνισοβαρῆ φησιν ἐν τῷ κενῷ παρὰ τὴν διαφορὰν τȣ̃ πορώδȣς.

(2) Μȣσχεμβρ. §. 803. Γραβεζάνδ. ϗ ἄλλοι.

(3) Περὶ ἀρχ. Βιβλ. Γ. §. ϛ'. Πορ. Γ'. ϗ Δ.

τοι τὴν κατὰ Γεωμέτρας, ἀναλογίζομαι, ἀναπολῶ ἅμα καί τι ἐκτεταμένον. Τοιγαροῦν ἤρτηται ἡ ἔκτασις ἐσωτερικῶς ἀπὸ τοῦ ἔχοντος, καὶ τρόπος ἄρα ἐστὶν, ἤτοι ἴδιον οὐσίας.

## Σχόλιον.

Προσφυῶς τοίνυν ὁ Καρτέσιος (1) ἐπειδὴ, φησὶν, ἐκ τούτου μόνου, ὅτι ἐκτεταμένον ἐστὶ τὸ σῶμα εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος, ὀρθῶς ἐπιφέρομεν αὐτὸ εἶναι οὐσίαν· ἀντιφάσκει γὰρ τοῦ μηδενὸς ἔκτασιν εἶναι· αὐτὸ δὴ τοῦτο ἐπιφέρειν χρεὼν καὶ περὶ τοῦ διαστήματος, ὃ κενὸν ὑποτίθεται. Παραπλήσια δὲ τούτοις ἐπιβάλλει καὶ Μόρος (2), ἐπάναγκες ἐστὶ, φάσκων, πραγματιῶδες τι ὑποκείμενον τῇ ἐκτάσει (τῇ κενῇ) ταύτῃ ὑφίστασθαι, πραγματιῶδες ἴδιον οὔσῃ. Συνᾴδει δὲ καὶ ὁ Κλάρκιος (3) τὸ διάστημα (εἰπὼν) οὐσία οὐκ ἔστιν, οὐδὲ ὂν αἰώνιον καὶ ἄπειρον, ἀλλ' ἰδιότης ὄντος αἰωνίου τε καὶ ἀπείρου. Σύμφωνα δὲ τούτοις ἐστὶ καὶ ἃ γέγραφε Νεύτων (4). Ἐπεὶ τοίνυν ταῦθ' οὕτως ἔχει, καὶ τὸ ἐν ᾧ τὰ παχυμερέστερα τῶν Σωμάτων κινεῖται διάστημα ἤδ' αὐτοὶ ἀπαναινόμεθα, μᾶλλον δὲ καὶ ἀποδεχόμεθα, ἡ ἀπορία πᾶσα ἐν τούτῳ κεῖται, τίς ποτε ἄρα εἴη ἡ τοῦ διαστήματος τούτου οὐσία.

## Πρότ. ΠΓ'.

„Τὴν τοῦ διαστήματος οὐσίαν, ἀδύνατον εἶναι οὐσίαν τινὰ, τῆς οὐσίας „τῆς ὕλης διῃρημένην, μίαν, ἀκίνητον, ἀδιαίρετον.

## Δεῖξις.

Α'. Ἐὰν γὰρ τὸ διάστημα οὐσία ᾖ, τῆς οὐσίας τῆς ὕλης διῃρημένη ἡ τῆς ὕλης οὐσία, δι' ἐκείνης τῆς τοῦ διαστήματος ἀκριβῶς χωρήσει· μία ἄρα οὐσία ἔσονται (Πρ. Ξ'.). Ἄρα κτλ.

Β'. Ἐὰν διὰ τῆς οὐσίας τοῦ διαστήματος ἡ ὕλη χωρῇ, μία καὶ ἡ αὐτὴ οὐσία ἀμφότεραι ἔσονται. Ἀλλ' ἡ ὕλη διαιρετή ἐστι, καὶ κινητὴ, ὡς δῆλον· ἄρα καὶ ἡ οὐσία τοῦ διαστήματος. Τῷ ὄντι δὲ ἐπεὶ ὕλης σπιθαμὴ χωρεῖ διὰ σπιθαμῆς διαστήματος, ἢ ταύτῃ κοινωνήσει, ὅσα αὐτῇ προσιδιάζει, καὶ αἱ δύο ἄρα σπι-

(1) Περὶ Ἀρχ. μέρ. Β'. ἀρθ. 16.

(2) Μέρ. Α'. Ἐγχειρ. Κεφ. Η'. §. 6.

(3) Ἀποκρίσει Γ'.

(4) Περὶ ἀρχ. Σχολίῳ γενικῷ περὶ τὸ τέλος.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θαμαὶ μίαν ἀποτελέσωσι σπιθαμὴν ςεῤῥὰν, κινητὴν, διαιρετὴν, ϗ διαχωρητὴν, ἀκίνητον, ἀδιαίρετον, ἢ ἐ κοινωνήσει, ϗ αὖθις τῇ αὐτῇ σπιθαμῇ ἐπαληθεύσει τἀναντία, οἷον τὸ σῶμα εἶναι, ϗ κενὸν, ϗ κινητὴν ϗ μὴ, ϗ διαιρετὴν ϗ μή· ὅπερ ἀδύνατον (Πρ. Α΄.).

## Πρότ. ΠΔ΄.

„Ἡ ἐσία τῦ κενῦ διαςήματος κατά τε Μόρον, ϗ Νεύτωνα, ϗ Κλάρ-„κιον, αὐτός ἐςιν ὁ Θεός.

## Δεῖξις.

Ὁ γὰρ Μόρος (1) τὰ ἀπονεμόμενα τῷ πρωτίςῳ Ὄντι ὑπὸ τῶν μεταφυσικῶν, οἷον τὸ ἓν, τὸ ἁπλῦν, τὸ ἀκίνητον, τὸ αἰώνιον, τὸ πεπληρωμένον, τὸ ἀνεξάρτητον, τὸ ἀφ᾽ ἑαυτῦ ὑπάρχειν, τὸ καθ᾽ αὑτὸ ὑφίςαθαι, τὸ ἀδιάφθαρτον, τὸ ἀναγκαῖον, τὸ ἄπειρον, τὸ ἄκτιςον, τὸ ἀπερίγραπτον, τὸ ἀκατάληπτον, τὸ πανταχῦ παρεῖναι, τὸ ἀσώματον, τὸ διὰ πάντων διήκειν καὶ πάντα συνέχειν, τὸ εἶναι ὂν κατ᾽ ἐσίαν, ὂν ἐνεργείᾳ, ἄκρατον ἐντελέχειαν, τῷ ἀπείρῳ τέτῳ ἐνδοτέρῳ τόπῳ προσιδιάζειν φησίν. Ἔνθεντοι ϗ ταύτην ἀτελεςέραν εἶναι τινὰ ὑπογραφὴν προςίθησι (2) τῆς θείας ἐσίας, ᾗ τινι τὰς ζωτικὰς ἔτι προςεθεῖναι λείπεται ἐνεργείας.

Ἀκεσόμεθα δὲ ϗ τῦ Νεύτωνος (3). Ὁ Θεὸς, φησὶν, αἰώνιός ἐςι ϗ ἄπειρος, πάντα εἰδὼς, καὶ πάντα δυνάμενος· τετέςι διαμένει ἀπ᾽ αἰῶνος εἰς αἰῶνα, ϗ πάρεςιν ἀπὸ ἀπείρε εἰς ἄπειρον· πάντα ἰθύνει, πάντα γινώσκει τὰ γινόμενα, ϗ τὰ γνωσθῆναι δυνάμενα. Οὐκ ἔςιν αἰωνιότης, ἢ ἀπειρία, οὐκ ἔςι διαμονὴ, ἢ διάςημα, διαμένει δὲ ϗ πάρεςι. Διαμένει μὲν ἀεὶ, πάρεςι δὲ πανταχῦ, ϗ ἀεὶ μὲν ὢν ϗ πανταχῦ, τήν τε διαμονὴν, ϗ τὸ διάςημα, τὴν αἰωνιότητα ϗ τὸ ἄπειρον συνίςησι. Τέτοις παραπλήσια ἰδεῖν ἔςαι ϗ Κλάρκιον ἀποφαινόμενον ἐν ὅλῳ τῷ αὐτῦ συγγράμματι περὶ ὑπάρξεως ϗ προσόντων Θεῦ, ϗ ἐν ταῖς ἐπιςολαῖς πρὸς Λεϊβνίτιον.

## Πρότ. ΠΕ΄.

„Εἴπερ ἡ τῦ κενῦ διαςήματος οὐσία αὐτός ἐςιν ὁ Θεὸς, ἐδὲν διοίσει ὁ „Θεὸς τῆς κατὰ Σπινόζαν ἐσίας, ϗ τῦ κατὰ τὲς Στωϊκὲς Θεῦ.

(1) Ἐν τῷ ἐγχειρ. μέρ. Α. Κεφ. Η΄. παραγράφῳ Η΄.

(2) Αὐτ. §. ιε΄.

(3) Περὶ Ἀρχ. ἐν τῷ Σχολίῳ τῷ κατὰ γένος περὶ τὸ τέλος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Ἐὰν ἡ τοῦ διαστήματος οὐσία χωρῇ διὰ τῆς οὐσίας τῆς ὕλης, ἡ οὐσία τοῦ διαστήματος ϗ τῆς ὕλης μία ἔσται (Πρ. ΠΒ'.). Ἐπειδὴ δὲ τὰ τῷ αὐτῷ ταυτιζόμενα, ϗ ἀλλήλοις ταυτίζεται· ἐὰν ὁ Θεὸς τεθῇ οὐσία τοῦ διαστήματος, ὁ Θεὸς ϗ ἡ τῆς ὕλης οὐσία ἔσται ἡ αὐτὴ οὐσία· ἤτοι ὁ Θεὸς οὐδὲν διοίσει τῆς κατὰ Σπινόζαν οὐσίας (ὅρα Σχόλ. Πρ. ΚΒ'.), ϗ τοῦ κατὰ τοὺς Στωϊκοὺς Θεοῦ, ὅς ἐστι τὸ ἐν τῷ κόσμῳ ποιοῦν (1).

## Σχόλιον.

Οἱ τοίνυν τιθέμενοι οὐσίαν εἶναι τοῦ διαστήματος τὸ Θεῖον, εἰς τοσοῦτον ἐκτραχηλίζονται ἄτοπον, ὥστε ϗ τῆς ὕλης αὐτῆς οὐσίαν τὸ Θεῖον ὑποτιθέναι. Ἐπειδὴ γὰρ ἡ οὐσία τοῦ διαστήματος τὸ τῆς ὕλης πρώτιστον ἐστὶν ὑποκείμενον, χωρεῖ δὲ ϗ διὰ τῆς ὕλης, ὡς μὴ ἐξεῖναι ταύτην ὑφίστασθαι ἄνευ διαστήματος, ἕπεται ἐκ τούτου τὸ τῆς ὕλης πρώτιστον ὑποκείμενον, ἤτοι οὐσίαν, εἶναι τὸ Θεῖον. Καὶ θαυμάζειν ἔπεστιν, ὅτι Κλάρκιος διὰ τοῦ δόγματος τούτου, ᾧ τινι τὸ Σπινόζου φρόνημα προσεμπεδοῦται, τὰ Σπινόζου ἀνατρέψαι ἐνόμισε (2).

## Πρότ. ΠΓ'.

„Ἡ τοῦ διαστήματος οὐσία οὐκ ἔστιν αὐτὴ ἡ τοῦ Θεοῦ οὐσία, ἤτοι ἡ οὐσία „τοῦ ὄντος τοῦ αἰωνίου.

## Δεῖξις.

Εἰ γὰρ, μία ἔσται ἡ τοῦ παντὸς οὐσία (Πρ. ΠΔ'.). Ἀλλ' οὐκ ἔστι μία (Πρ. ΚΑ'. ϗ ΚΓ'.). Οὐκ ἄρα κτ:.

## Σχόλιον.

Οὕτως ἐκ βάθρων αὐτῶν ἀνέσκαπται ἡ τοῦ διαβεβοημένου διαστήματος δόξα, ἡ καθ' ἡμᾶς ἀνὰ πᾶσαν τὴν Εὐρώπην τοσοῦτον θροῦν διεγείρασα. Ἐκείνου γὰρ τοῦ διαστήματος ἡ οὐσία, οὐθ' ἡ τοῦ Θεοῦ αὐτοῦ οὐσία δύναται εἶναι (Πρ. ΠΕ'.)· οὐδὲ γοῦν οὐσία τῆς ὕλης διακεκριμένη (Πρ. ΠΒ'.). Καὶ πάντα ἄρα, ὅσα Μόρος, Νεύτων, Κλάρκιος, Ῥαφσώνιος, ϗ ἄλλοι, πρὸ πάντων δὲ οἱ Ἄγγλοι φιλόσοφοι τῷ διαστήματι προσεῖναι ὑπέθεντο, προσόντα ἐστὶν ὄντος φαντασιώ-

---

(1) Ὅρα Λίψιον τὸν περὶ τούτων διαλεγόμ. ἐκ προθέσ. ἐν τῇ φυσιολ. τῶν Στωϊκ. Βιβλ. Α'. διαλ. η'.

(2) Ἐν τῷ περὶ ὑπάρξ. ϗ προσόντ. Θεοῦ.

Ε. ΛΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δους καὶ ἐπιπλάσου, ὥσπερ Ὠ᾽ββέσιος (1), Λεϊβνίτιος, Οὐόλφιος, καὶ πάντες οἱ ἀμφὶ τὸν Καρτέσιον παρέδωκαν. Τὸ τοίνυν διάστημα, ὃ κενὸν καλοῦσιν, οὐδέν ἐστι τῷ ὄντι, ὅτι μὴ ἔκτασις σωματικὴ πάνυ λεπτὴ, καὶ ῥοώδης, ἡ ἀφύντε καὶ πᾶσαν ἄλλην διαφεύγουσα αἴσθησιν, οἵα ἡ ἐν τῷ κενῷ τοῦ Βοϋλίου, ὡς ἀνωτέρω παρατετήρηται· συνέστηκε δὲ ἐκ πάνυ λεπτῶν μορίων, ἀλλήλων διακεκριμένων.

## Πρότ. ΠΖʹ.

„Τὸ διαιρετὸν εἶναι τοῦ μετρητὸν διαφέρει· καὶ δῆτα καταμετρη-
„τὸν ἂν εἴη τὸ ἀδιαίρετον.

## Σχόλιον.

Α᾽ξίωμα ἐστὶ παρὰ τοῖς Ε᾽πικουρείοις, τοῖς διδάσκουσι τὸ κενὸν διάστημα καταμετρητὸν μὲν εἶναι, διαιρετὸν δὲ οὐδαμῶς. Λόγος δὲ τούτου, ὅτι ἐν τῷ διαιρετῷ μέρη ὑποτίθεται ἀλλήλων πράγματι διακεκριμένα. Οἷον ἐὰν κινηθείη κύλινδρος, οὗπερ τὸ ὕψος μὲν εἴη σπιθαμιαῖον, ἡ δὲ παχύτης δακτυλιαῖα, ἡ τῆς κινήσεως ἐνέργεια τὴν αὐτὴν ἕξει ἔκτασιν, ἣν ὁ Κύλινδρος. Α᾽λλ᾽ ἡ μὲν τοῦ Κυλίνδρου ἔκτασις καὶ καταμετρητή ἐστι καὶ διαιρετὴ, ἡ δὲ τῆς κινήσεως καταμετρητὴ μὲν, ἀδιαίρετος δέ.

## Πρότ. ΠΗʹ.

„Τὰ μέρη τοῦ τῶν Ε᾽πικουρείων διαστήματος πράγματι ἐστὶν ἀλλήλων δια-
„κεκριμένα.

## Δεῖξις.

Ε᾽στωσαν πόδες τρεῖς κυβικοὶ ἐν τῷδε τῷ διαστήματι Α, Β, Γ. Οὗτοι γοῦν, εἰ μὴ πράγματι ὦσι διακεκριμένοι, πράγματι ὁ αὐτὸς ποῦς ἔσονται. Α᾽τοπον οὖν τὸ ἑπόμενον· ἄρα κτλ. Α᾽λλ᾽ ὁ Κλάρκιος, ὁμοιότατοι εἰσὶ τὴν οὐσίαν, φησὶν, ἀλλ᾽ οὐδὲν κατ᾽ αὐτὸν κωλύει, ἄτομα δύο ὁμοιότατα ὄντα τὴν οὐσίαν, πράγματι ἀλλήλων διακεκρίσθαι. Η᾽ ἔκτασις, φασὶ, τῶν τριῶν ποδῶν οὐκ ἔστιν ἡ αὐτὴ, καίτοι ἡ αὐτὴ οὐσία· ὡς εἴπερ ἡ ἔκτασις, καὶ ἡ τῆς ἐκτάσεως οὐσία μὴ ταυτά.

## Πρότ. ΠΘʹ.

„Τὸ κατὰ τοὺς Ε᾽πικουρείους διάστημα διαιρετὸν ἐστὶ, καὶ οὐ μόνον καταμετρη-
„τὸν, ὡς οἴεται Μουσχεμβροέκιος.

(1) Τόμ. Αʹ. κοινημ. φιλοσοφ. Φυσικ. Κεφ. Κςʹ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. τμ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Σύγκειται γὰρ ἐκ μερῶν πράγματι διακεκριμένων (Πρ. ΠΖ'.)· τὰ δ' οὕτως ἔχοντα μέρη καὶ διαχωρίζεσθαι πέφυκεν (ὅρ. λξ'.). Ἄρα κτ:.

## Σχόλιον.

Ἀλλὰ φασὶ τὸ διάστημα ἀκίνητον ὂν ἀδιαίρετον τυγχάνειν. Τί δ' ὅτι ἀκίνητον; ὅτι φασὶν ὁλικῶς μὲν κινεῖσθαι οὐ δύναται, ἅτε ἄπειρον· ἔστω. Ἀλλ' οὐδὲ κατὰ μέρη· τῷ τοῦτο κρίνουσιν; ὅτι φασὶν ἀδιαίρετον. Βαβαὶ τῆς ἀηδοῦς διαλληλίας ἐν ἀποδείξεσι. Διῃρήσθων, φασὶ, τὰ τοῦ διαστήματος μέρη· τί δή ποτε μεταξὺ τούτων χωρήσει; οὐδέν. Οὐκοῦν, ἐπάγουσιν, οὐδὲ διαιροῦνται· Ἀλόγως. Ἐφ' ᾧ γὰρ τὸ Α τοῦ Β διῃρημένον ᾖ, οὐδὲν ἐγχωρεῖν ἐπάναγκες. Δυνατὸν γὰρ δύο ἐκτεταμένων διῃρῆσθαι, κἂν ἀλλήλων ἀμέσως ᾖ καθαπτόμενα. Οἷον ἔστωσαν Κύβοι δύο ἐπ' ἀκριβὲς ἐπίπεδοι, καὶ ἀμέσως ἁπτόμενοι· τούτων ἡ διαίρεσις ἐν τούτῳ κείσεται, ὅτι οὐδὲν τῶν ἐν τῷ Κύβῳ Α' μέρος τὸ ἐπίπεδον τοῦ Κύβου Β'. εἴσεισι.

## Πόρισμα Α'.

Τὸ τῶν Ἐπικουρείων διάστημα φύσει τῇ ἰδίᾳ κινητόν ἐστιν, ὅτι φύσει διαιρετόν.

## Πόρισμα Β'.

Τὸ τῶν Ἐπικουρείων διάστημα ὀφείλει εἶναι στερρόν. Κινητὸν γὰρ ὂν (Πόρ. Α'.), εἰ χωρητὸν εἴη, καὶ ἐλαχίστῃ δυνάμει εἰς σημεῖον ἂν μαθηματικὸν ᾤχετο.

## Πόρισμα Γ'.

Ἔστι δὲ καὶ σωματικόν. Ἔστι γὰρ εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος ἐκτεταμένον, καὶ διαιρετὸν, καὶ κινητὸν, καὶ στερρὸν (ἐκ τῶν ἀνωτ.). Πάντα ἄρα τούτῳ ἀνήκει τὰ τῇ σώματος φύσει προσιδιάζοντα.

## Σχόλιον.

Καὶ οὗτοι μὲν εἰσὶν οἱ λόγοι, οἷς εὐσθενῶς ἐμοὶ δοκεῖ τὸ κενὸν τοῦτο διάστημα ἀναιρεῖσθαι. Ἤδη δὲ ἀπαντητέον καὶ τοῖς ἐκ τῆς Θεολογίας λαμβανομένοις ἐπιχειρήμασι. Τὸν Θεὸν φασὶν ἄμετρον εἶναι, καὶ πανταχοῦ παρεῖναι, ἥτε φυσικὴ Θεολογία, καὶ ἡ τῶν ἐξ ἐθνῶν, καὶ ἐπὶ ταύταις ἡ ἱερὰ τῶν Χριστιανῶν ἐκδιδάσκει. Καὶ δῆθεν ὁ μὲν φυσικὸς λόγος οὐχ οὕτω τὸ Θεῖον ἄμοιρον οἱασοῦν ἐκτάσεως βούλεται, ὡς σημεῖον ἄντικρυς εἶναι τῶν τοῖς Γεωμέτραις ἐπινοουμένων· οὕτω γὰρ οὐδὲν ἂν εἴη. Εἰ δὲ ἐκτεταμένου, πεπερασμένην ἄρα οὐκ ἂν ἔχοι

τὴν ἔκτασιν τὸ ἀπειροτέλειον. Ο' αὐτὸς ἄρα λόγος ϗ τὸν Θεὸν ὑπάρχειν, ϗ ἄμετρον εἶναι, ἤτοι πανταχȣ̃ ἡμᾶς ἐκδιδάσκει. Καὶ ὧδε μὲν ὁ Κλάρκιος (1).

Η' δὲ τῶν Ε'θνικῶν θεολογία πᾶσα ἀσπάζεται τὸ ἀρχαιότατον τȣ̃ Α'ράτȣ ἐκεῖνο (2).

..........μεςαὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,<br>
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεςὴ δὲ θάλασσα,<br>
Καὶ λιμένες....

Παρέδωκε δὲ Α'ριςοτέλης τȣ̃το πρεσβευόμενον φέρεσθαι Θάλητι, ϗ Η'ρακλείτῳ, ϗ Τιμαίῳ τῷ Λοκρῷ, ϗ ἄλλοις (3). Ο' δὲ Πυθαγόρας τὸ θεῖον ὡρίζετο νȣ̃ν διὰ τῆς ἁπάντων διήκοντα φύσεως (4). Καὶ Σωκράτης δὲ παρὰ Ξενοφῶντι τὸν Θεὸν πανταχȣ̃ παρεῖναι, ϗ διὰ πάντων ἰέναι ἀποφθέγγεται (5). Καὶ Οὐίργίλιος ᾔσε τὸν Θεὸν ἰέναι per omnes coeli, maris, terrarumque tractus (6). Καὶ Λυκανὸς (7), ϗ οἱ Στωϊκοὶ ψυχὴν εἶναι οἱονεὶ τȣ̃ κόσμȣ τὸν Θεὸν ἐδόξαζον (8). Λέγεται δὲ ϗ πρεσβυτάτην ταύτην γεγονέναι την δόξαν παρὰ Χαλδαίοις, καθ' ȣ̃ς τὸ ὑπερκόσμιον φῶς τȣ̃ Θεȣ̃ ἐν ἀρχῇ ἐκπηγάσαν, διά τε τȣ̃ παντὸς διϊὸν, ϗ δι' αὐτȣ̃ τȣ̃ τῆς γῆς κέντρȣ ἐχώρησε (9). Ταύτητοι ϗ Ι'άμβλιχος, ὡς ἐκ τῆς δόξης τῶν Αἰγυπτίων ϗ Χαλδαίων γέγραφε, διὰ πάντων διϊέναι, ϗ διατρέχειν τὸ θεῖον φῶς, ἑαυτȣ̃ μηδαμῶς ἐξιςάμενον (10). Μέτιθι περὶ τȣ́των ϗ Οὐέτιον ἐν τοῖς Α'λνετανοῖς.

Τελευταῖον δὲ ϗ ἡ ἱερὰ τῶν Χριςιανῶν θεολογία τὸν Θεὸν πανταχȣ̃ παρόντα ἐξυμνεῖ, παρόντα μὲν τῇ δυνάμει, μὴ ἀπόντα δὲ τῇ φύσει καθά περ Αὐγȣςῖνος φησὶν, ὃς ϗ ἐπιςολῇ νζ΄., κατὰ τὴν ἐν Παρισίοις ἀρχαιοτέραν ἔκδοσιν, δαψιλῶς κατασκευάζει τὸ θεῖον οὐσιωδῶς πανταχȣ̃ παρεῖναι,

---

(1) Περὶ οὐσίας ϗ προσόντων Θεȣ̃.

(2) Εἰς τὰ φαινόμενα. Ε'πει. β΄.

(3) Βιβλ. Α΄. περὶ ψυχῆς Κεφ. Η΄.

(4) Παρὰ Κικέρ. Βιβλ. Α΄. περὶ φύσ. θεῶν.

(5) Ξενοφῶντ. Α'πομνημ. Βιβλ. Α΄. Σελ. 711.

(6) Γεωργ. Δ΄.

(7) Βιβλ. Θ΄. Pharsaliae.

(8) Ο'ρα Λίψιον ἐν τῇ Φυσιολογ. τῶν Στωϊκῶν.

(9) Ο'ρα Σταυλέϊον ἐν ἱςορ. τῆς Φιλοσ. τῶν Α'νατ. μέρ. ΙΓ΄. τμή. Β΄. Κεφ. Β΄. Καὶ Κλέρικον ἐν τοῖς Σημειώμασιν εἰς τȣ̀ς χρησμȣ̀ς, οἳ τȣ̃ Ζωρο. λέγονται.

(10) Περὶ μυςηρ. τῶν Αἰγυπτ.

Εργ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὃ δὴ καὶ τοῖς θεολογοῦσι βλάσφημον δοκεῖ ἀπαναίνεσθαι (1). Ἔνθεν τοι καὶ κατά τινων τῶν ἀμφὶ Καλβῖνον καὶ Σοκῖνον φέρονται, τῶν ἐν Οὐρανῷ περιέχεσθαι τὸν Θεὸν λεγόντων (2). Περιττὸν δ᾽ ἂν εἴη ἐνταῦθα τὰ Γραφικὰ ἐπαθροῖσαι, οἷς τὸ δόγμα τοῦτο οἱ θεολογοῦντες κατασκευάζουσιν. Ἐπάναγκες ἄρα ὁμολογεῖν οὐσίαν εἶναι αἰωνίαν, ἀμέτρητον, ἁπλῆν, ἀκίνητον, ἐν ᾗ ζῶμεν, κινούμεθα, καὶ ἐσμέν, ᾗ Παῦλος φησὶν ὁ θεῖος (πράξ. ιζ. ἐδαφ. κη΄.).

Ἀλλ᾽ οὗτοί μοι δοκοῦσι, καίτοι ἐν προσχήματι εὐσεβείας τὸ θεῖον ἐξυμνεῖν ἐπαγγελλόμενοι, δόγμα πειρᾶσθαι κρατύνειν τὸ μὴ μόνην τὴν τῶν Χριστιανῶν, ἀλλὰ καὶ πᾶσαν ἁπλῶς τὴν εἰς Θεὸν πίστιν πρόρριζον ἐκτέμνον. Ὅτι μὲν γὰρ πανταχοῦ παρὼν ὁ Θεὸς, καὶ ἀμέτρητός ἐστι, καὶ ἀχώρητος, καὶ ἄπειρος, οὕτως ἀσφαλῶς ἡμῖν κατέχεται καὶ ὁμολογεῖται, ὥσπερ καὶ ὅτι ἐστὶ, καὶ ἄτρεπτός ἐστι, καὶ ἀναλλοίωτος. Ἀλλὰ τί δή ποτε τουτὶ βούλεται τὸ πανταχοῦ παρεῖναι, ὅπως τε πανταχοῦ πάρεστι τὸ θεῖον, οὐδὲ λόγον τινὰ ἡμᾶς ἐκδιδάσκειν σαφῶς, οὐδὲ παράδοσιν, οὐδ᾽ ἀποκάλυψιν τὴν ἐν ἱεροῖς γράμμασιν ἡγούμεθα. Ἀλλ᾽ ἐκεῖνο καὶ λόγος ἅπας, καὶ ἀποκάλυψις ἀπαγορεύει φρονεῖν τὸ θεῖον εἶναι τὴν τοῦ παντὸς οὐσίαν, ἢ τὴν τοῦ κόσμου ψυχὴν, ὅπερ τῶν ἐξ ἐθνῶν πολλοὶ, τῷ παρὰ τῆς Ἀποκαλύψεως φωτὶ μηδαμῶς ἐλλαμφθέντες, ἡγήσαντο. Τί ποτε ἄρα Μόρος, καὶ Ῥαφσώνιος, καὶ Οὐέτιος, καὶ Πετάβιος, ταῖς τῶν ἔξω σοφῶν μαρτυρίαις τὸ ἀπερίγραπτον τῆς θείας φύσεως καὶ ἀμέτρητον ἡμῖν κατασκευάζειν πειρῶνται, τοῖς εἰλικρινῶς τὸν Θεὸν πανταχῇ παρόντα ἐξ αὐτῶν τῶν ἱερῶν γραμμάτων μυουμένοις τε καὶ γεραίρουσιν; ἢ τὸν τρόπον τῆς ἁπανταχοῦ παρουσίας ἐξ ἐκείνων ὑποτιθέμενοι; Ἀλλ᾽ εἰ τοῦτο, ἴστωσαν τὴν Σπινόζου κακόνοιαν ἡμᾶς ἐκπαιδεύοντες. Τίνι γὰρ οὐ φανερὸν, Χαλδαίων παῖδας καὶ Αἰγυπτίων, καὶ Πυθαγόραν αὐτὸν, καὶ τοὺς Ἐλεατεῖς, καὶ Στωϊκοὺς, μηδὲν ἄλλο διὰ τῆς παρουσίας ταύτης εἰσηγεῖσθαι, ἢ ὅτι δύναμίς τις ἐνεργὸς, καὶ δραστήριος, καὶ διανοητικὴ ἡ αὐτὴ, τῇ ἀπ᾽ αἰῶνος ὑφεστώσῃ ὕλῃ συνῆπται, κἀκ τούτων ἅμα συνεζευγμένων τὸ πᾶν οἱονεὶ ζῶόν τι παμμέγεθες συγκεκρότηται; Εἰ δὲ τοῦτο, δυσσεβὲς ἡμῖν οὐχ ἧττον ἢ ἄλογον, πῶς ἔπειτα καὶ τῶν ἐν τῇ ἱερᾷ θεολογίᾳ ἀνατεθραμμένων, οἷος Οὐέτιος, καὶ Πετάβιος, τοῖς θολεροῖς τούτοις νάμασιν ἐ-

(1) Ὅρα Πετάβιον περὶ Θεοῦ Βιβλ. Γ΄. Κεφ. Ζ. καὶ Η΄.

(2) Μέτιθι Βουδδαῖον θεολ. δογματ. Βιβλ. Β. Κεφ. Α΄. §. 41. Σελ. 246.

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πιθολοῦν οὐκ αἰσχύνονται τὰ τῶν Χριστιανῶν ἀπόῤῥητα; Τοὺς γὰρ Ἄγγλους, ἄνδρας καίτοι μεγαλονοίᾳ διαφέροντας, τὸ ἀκαταμέτρητον καὶ ἀπέραντον τουτὶ διάστημα, αὐτὴν εἶναι τὴν Θεοῦ φύσιν, τὴν πανταχοῦ προϊοῦσαν, φρονοῦντάς τε καὶ διδάσκοντας ἀκούων, οὐκ ἂν θαυμάσαιμι, εἰδὼς ἄλλως φύσει φανητιῶντας, καὶ περὶ τὰ ἀτοπώτατα διὰ θράσους περιουσίαν ἐκτραχηλισθέντας (1).

Ἀπαντῶ τοιγαροῦν πρὸς τὰ ἐκ τῆς τῶν Χριστιανῶν θεολογίας λαμβανόμενα. Πρώτιστον τῆς Χριστιανῶν θεολογίας κεφάλαιον ἐστὶν, ὅτι ἡ τοῦ Θεοῦ φύσις πάντῃ τοῖς ἀνθρώποις ἐστὶν ἀκατάληπτος· ἴσμεν γὰρ ἤδη δηλονότι ἐκ μέρους, καὶ ἐν αἰνίγμασι, καὶ διανοίᾳ πεπερασμένῃ χωρῆσαι τὸ ἄπειρον, τῶν ἀδυνάτων εἶναι ἡγούμεθα. Ὅτι μὲν οὖν ἀπέραντος, καὶ πανταχοῦ παρὼν ὁ Θεὸς, καὶ φρονοῦμεν καὶ πεπιστεύκαμεν. Ἀλλ' ὅτι δὴ ἥκιστα τῇ ὕλῃ συνδιαχωρεῖ τὸ θεῖον καὶ συνεκτείνεται, οὐδὲ τῆς ὕλης οὐσία τυγχάνει ὂν, οὐχ ἧττον πίστει κατέχειν εἰρήμεθα· ἐξ οὗ μηδὲ τὸν τρόπον, καθ' ὃν πανταχοῦ πάρεστι Θεὸς, ἡμᾶς εἰδέναι ἀκόλουθον. Οἴδαμεν ἄρα ὡς πάρεστι πανταχοῦ, ὅπως δὲ οὐδαμῶς. Ἀλλὰ καὶ διὰ πάντων ἐνεργεῖν, πάντα τε κινεῖν, καὶ συνέχειν, καὶ τοῦτο ἴσμεν· ἀλλὰ καὶ ὅτι τῆς τοῦ παντὸς οὐσίας ἡ θεία καὶ ὑπερούσιος διακρίνεται, οὐδὲν ἔλαττον. Τὸ γὰρ ἐκ τῶν ἀποῤῥητοτέρων, καὶ ὧν ἡ γνῶσις ἀνέφικτος, ἐπὶ τὰ καθ' ἡμᾶς μεταπίπτειν, καὶ τὰς φύσεις τῶν ὄντων ἐκ τῶν ὑπερφυῶν μυστηρίων ἐπιχειρεῖν ἀναπτύσσειν, ἢ τὸ ἀνάπαλιν ἐξ ἐκείνων ταῦτα, θρασύτητος καὶ ἀπονοίας προφανὲς οἶμαι τυγχάνει τεκμήριον.

## Πρότ. ι΄.

„Οὐκ ἔστι τὰ σώματα τρόπων ἕνωσις ἄνευ οὐσίας. Ἐπειδὴ γὰρ οἱ τρόποι „ἐσωτερικῶς τῆς οὐσίας εἰσὶν ἀπηρτημένοι, οὐκ ἔχουσι καθ' ἑαυτοὺς ὑπάρχειν „ἄνευ οὐσίας.

## Πρότ. ια΄.

„Ἡ τῶν σωμάτων οὐσία οὐκ ἔστι μία.

## Δεῖξις.

Ἡ γὰρ οὐσία ἐστὶν ὂν ἁπλοῦν (Πρ. ΚΒ΄.)· οὐκ ἄρα ἐκ μερῶν πράγματι ἀλ-

(1) Οὐ γὰρ εἰκὸς, οὐδὲ πρέπον, ὥσπερ ἔνιοι φιλόσοφοι λέγουσι, τὸν Θεὸν ἐν ὕλῃ πάντα παχείσῃ, καὶ πράγμασι μυρίας δεχομένοις ἀνάγκας, καὶ τύχας, καὶ μεταβολὰς, ὑπάρχειν ἀναμεμιγμένον. Ἀλλ' ἡμῖν ἄνω που περὶ τὴν ἀεὶ καὶ ταῦτα ὥστε φύσιν ἔχουσαν ἱδρυμένος ἐν βάθροις ἁγίοις, ᾗ φησι Πλάτων, εὐθεῖα περαίνει κατὰ φύσιν περιπορευόμενος (Πλάτ. πρὸς ἡγεμόνα ἀπαίδευτον).